ΠΑΙ. κᾆτ᾽ ἐξέκλεψας πῶς Ἀπόλλωνος γάμους;
ΚΡ. ἔτεκον· ἀνάσχου ταῦτ᾽ ἐμοῦ κλύων, γέρον.
ΠΑΙ. ποῦ; τίς λοχεύει σ᾽; ἢ μόνη μοχθεῖς τάδε;
ΚΡ. μόνη κατ᾽ ἄντρον οὗπερ ἐζεύχθην γάμοις.
ΠΑΙ. ὁ παῖς δὲ ποῦ ᾽στιν; ἵνα σὺ μηκέτ᾽ ᾖς ἄπαις.
ΚΡ. τέθνηκεν, ὦ γεραιέ, θηρσὶν ἐκτεθείς.
ΠΑΙ. τέθνηκ᾽; Ἀπόλλων δ᾽ ὁ κακὸς οὐδὲν ἤρκεσεν;
ΚΡ. οὐκ ἤρκεσ᾽· Ἅιδου δ᾽ ἐν δόμοις παιδεύεται.
ΠΑΙ. τίς γάρ νιν ἐξέθηκεν; οὐ γὰρ δὴ σύ γε.
ΚΡ. ἡμεῖς, ἐν ὄρφνῃ σπαργανώσαντες πέπλοις.
ΠΑΙ. οὐδὲ ξυνῄδει σοί τις ἔκθεσιν τέκνου;
ΚΡ. αἱ ξυμφοραί γε καὶ τὸ λανθάνειν μόνον.
ΠΑΙ. καὶ πῶς ἐν ἄντρῳ παῖδα σὸν λιπεῖν ἔτλης;
ΚΡ. πῶς δ᾽; οἰκτρὰ πολλὰ στόματος ἐκβαλοῦσ᾽ ἔπη.
ΠΑΙ. φεῦ·
τλήμων σὺ τόλμης, ὁ δὲ θεὸς μᾶλλον σέθεν.
ΚΡ. εἰ παῖδά γ᾽ εἶδες χεῖρας ἐκτείνοντά μοι.
ΠΑΙ. μαστὸν διώκοντ᾽ ἢ πρὸς ἀγκάλαις πεσεῖν;
ΚΡ. ἐνταῦθ᾽, ἵν᾽ οὐκ ὢν ἄδικ᾽ ἔπασχεν ἐξ ἐμοῦ.
ΠΑΙ. σοὶ δ᾽ ἐς τί δόξης ἦλθεν ἐκβαλεῖν τέκνον;
ΚΡ. ὡς τὸν θεὸν σῴσοντα τόν γ᾽ αὑτοῦ γόνον.
ΠΑΙ. οἴμοι, δόμων σῶν ὄλβος ὡς χειμάζεται.
ΚΡ. τί κρᾶτα κρύψας, ὦ γέρον, δακρυρροεῖς;
ΠΑΙ. σὲ καὶ πατέρα σὸν δυστυχοῦντας εἰσορῶν.
ΚΡ. τὰ θνητὰ τοιαῦτ᾽· οὐδὲν ἐν ταὐτῷ μένει.
ΠΑΙ. μὴ νῦν ἔτ᾽ οἴκτων, θύγατερ, ἀντεχώμεθα.
ΚΡ. τί γάρ με χρὴ δρᾶν; ἀπορία τὸ δυστυχεῖν.
ΠΑΙ. τὸν πρῶτον ἀδικήσαντά σ᾽ ἀποτίνου θεόν.
ΚΡ. καὶ πῶς τὰ κρείσσω θνητὸς οὖσ᾽ ὑπερδράμω;
ΠΑΙ. πίμπρη τὰ σεμνὰ Λοξίου χρηστήρια.
ΚΡ. δέδοικα· καὶ νῦν πημάτων ἄδην ἔχω.
ΠΑΙ. τὰ δυνατά νυν τόλμησον, ἄνδρα σὸν κτανεῖν.
ΚΡ. αἰδούμεθ᾽ εὐνὰς τὰς τόθ᾽ ἡνίκ᾽ ἐσθλὸς ἦν.
ΠΑΙ. σὺ δ᾽ ἀλλὰ παῖδα τὸν ἐπὶ σοὶ πεφηνότα.

---

ῶν
965. σῴσοντα] Wakefieldius, σῴζοντα libri. 968. εἰσορῶ B εἰσορῶ C 978. σὺ δ᾽] Hermannus, νῦν δ᾽ libri.